# Adnotationes in Judices

## ΩΡΙΓΕΝΟΥΣ ΕΚΛΟΓΑΙ ΕΙΣ ΤΟΥΣ ΚΡΙΤΑΣ.

17.37 ΚΕΦ. ΙΕ΄. Στίχ. ιθ΄. Καὶ ἔῤῥηξεν ὁ Θεὸς τὸ τραῦμα τὸ ἐν σιαγόνι, καὶ ἐξῆλθεν ἐξ αὐτοῦ ὕδωρ. Ἀντὶ τοῦ· Ἔῤῥηξε τῇ πληγῇ τῆς σιαγόνος τὴν γῆν, καὶ ἐξῆλθεν ὕδατα. ΚΕΦ. Κ΄. Στίχ. κα΄. Καὶ ἐξῆλθον υἱοὶ Βενιαμίν. Τίνος ἕνεκεν ἡττῶνται δικαίως ἐπεξελθόντες; Ἢ δηλονότι διὰ προλαβούσας αἰτίας. Καὶ ὁ ψαλμός φησιν· Ὅταν λάβω καιρὸν, ἐγὼ εὐθύτητας κρινῶ. Εἶτα μετὰ τὸ ἡττηθῆναι καὶ μίαν καὶ δευτέραν, μετῆλθεν ἡ ὀργὴ ἐπὶ τοὺς ἠδικηκότας, νικῶσι δικαίαν δίκην. Θαυμάσαι δὲ ἄξιον τὸ πλῆθος τῶν Ἰσραηλιτῶν, ὅτι, δικαίως τοῖς Βενιαμίταις ἐπελθόντες, καὶ ἡττηθέντες, οὐκ ἐνενόησάν τι πονηρὸν κατὰ τοῦ Θεοῦ, ἀλλὰ μᾶλλον οὐδὲ ἐπαύσαντο προκλαίοντες, ἕως ὅτε δίκην ἔλαβον κατὰ τῶν ἠδικηκότων. Οὐ καταμεμφόμενοι τοῦ Θεοῦ εἶπον· Ἀλλὰ ἀπόχρη τοῦτο. Τρόπον μαθεῖν ἱκέτευον. Τό· Βενιαμὶν λύκος ἅρπαξ· πρωῒ ἔδεται, καὶ τὸ ἑ. διαδώσει τροφὴν, ἐνταῦθα πληροῦται. Καὶ γὰρ πρότερον νικήσας, ἔσχατον βρῶμα τοῦ λαοῦ γέγονε. 17.40 ΚΕΦ. ΚΑ΄. Στίχ. κ΄, κα΄. Τί δήποτε προσέταξαν οἱ υἱοὶ Ἰσραὴλ τοῖς διακοτοῖς ἐκ τοῦ Βενιαμὶν ἐκ τῶν, ἐν Σηλὼμ χορευουσῶν παρθένων ἁρπάσαι τε καὶ γῆμαι; Αἱ τῆς φυλῆς αὐτῶν γυναῖκες ἅπασαι κατεσφάγησαν· αὐτοὶ δὲ ὀμωμόκεσαν, μὴ κατεγγυῆσαι αὐτοῖς τὰς ἑαυτῶν θυγατέρας. Ἵνα τοίνυν μὴ βιασθέντες ὑπὸ τῆς ἀνάγκης ἀλλοφύλους γυναῖκας ἀγάγωνται, πόρον εὗρον ἐν ἀπόροις, καὶ τὴν ἁρπαγὴν ἐπενόησαν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.